*Die Gesetze, Stütze der Demokratie.*

„Τρεῖς γάρ, ὡς ὁμολογεῖται, πολιτεῖαί εἰσι παρὰ τοῖς ἀνθρώποις, τυραννὶς[1] καὶ ὀλιγαρχία καὶ δημοκρατία. Διοικοῦνται[2] δ’ αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων[3], αἱ δὲ πόλεις[4] αἱ δημοκρατούμεναι[5] τοῖς νόμοις τοῖς κειμένοις.

Εὖ δ’ ἐπίστασθε, ὦ Ἀθηναῖοι, ὅτι τὰ μὲν τῶν δημοκρατουμένων σώματα καὶ τὴν πολιτείαν οἱ νόμοι σῴζουσι, τὰ δὲ τῶν τυράννων καὶ ὀλιγαρχικῶν ἡ ἀπιστία[6] καὶ ἡ μετὰ τῶν ὅπλων φρουρά. Φυλάξασθαι[7] δὴ δεῖ τοὺς **μὲν** ὀλιγαρχικοὺς καὶ τοὺς τυράννους τοὺς [8]ἐν χειρῶν νόμῳ[8] τὴν πολιτείαν καταλύοντας, ἡμᾶς **δέ**, οἳ τὴν [9]ἴσην καὶ ἔννομον[9] πολιτείαν ἔχομεν, τοὺς παρὰ τοὺς νόμους ἢ λέγοντας ἢ πράττοντας.

Χρὴ οὖν ἡμᾶς, ὅτε μὲν νομοθετούμεθα[10], τόδε σκοπεῖν[11], ὅπως καλῶς ἔχοντας καὶ συμφέροντας νόμους τῇ πόλει[4] θησόμεθα[12], ἐπειδὴ δὲ ἐνομοθετησάμεθα, τοῖς νόμοις τοῖς κειμένοις πείθεσθαι, τοὺς δὲ μὴ πειθομένους κολάζειν, εἰ δεῖ τὰ τῆς πόλεως[4] καλῶς ἔχειν.“

---

1 ἡ τυραννίς, -ίδος

2 διοικοῦνται] διοικέω: (hier:) *bestimmen*

3 τῶν ἐφεστηκότων] ὁ ἐφεστηκως, τοῦ ἐφεστηκότ-ος: *Vorsteher, Anführer, Haupt*

4 Zu ἡ πόλις: *die Stadt* (Numerus, Kasus? → Artikel!)

5 δημοκρατέομαι] *eine demokratische Verfassung haben*

6 ἡ ἀπιστία] *das Misstrauen*

7 φυλάξασθαι] φυλάττομαι: *sich in Acht nehmen vor* (jmdm.: τινά)

8 ἐν χειρῶν νόμῳ] „*gewaltsam*“

9 ἴσην καὶ ἔννομον] „*auf Rechtsgleichheit beruhend*“

10 νομοθετούμεθα] νομοθετέω: *Gesetze geben*

11 σκοπεῖν] σκοπέω: *achtgeben, aufpassen* (*dass*: ὅπως + Futur; hier durch τόδε angekündigt).

12 θησόμεθα] Futur Medium zu τίθημι: (*setzen, legen*) hier: (Gesetze) *geben*